τω ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσοϋψὴς τῷ κώ-
νῳ· ἡ ἄρα ἀνασταθεῖσα πυραμὶς μείζων ἐστὶν ἢ τὸ ἥμι-
συ τοῦ κώνου· ἐπειδήπερ ἐὰν περιγράψωμεν περὶ
τὸν κύκλον τετράγωνον καὶ ἀπ' αὐτοῦ ἀναστήσωμεν πυ-
ραμίδα ἰσοϋψῆ τῷ κώνῳ, ἡ ἐγγραφεῖσα πυραμὶς
ἥμισύ ἐστι τῆς περιγραφείσης· πρὸς ἀλλήλας γάρ
εἰσιν ὡς αἱ βάσεις· ἐλάττων δὲ ὁ κῶνος τῆς περι-
γραφείσης πυραμίδος· τετμήσθωσαν αἱ ΕΖ ΖΗ ΗΘ
ΘΕ περιφέρειαι δίχα κατὰ τὰ ΟΠΡΣ σημεῖα· καὶ ἐπε-
ζεύχθωσαν αἱ ΘΟ ΟΕ ΕΠ ΠΖ ΖΡ ΡΗ ΗΣ ΣΘ· ἕκαστον ἄρα
τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμι-
συ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου· ἀνεστάτω
ἐφ' ἑκάστου τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ τριγώνων πυ-
ραμὶς ἰσοϋψὴς τῷ κώνῳ· καὶ ἑκάστη ἄρα τῶν ἀνα-
σταθεισῶν πυραμίδων μείζων ἐστὶν ἢ τὸ ἥμισυ τοῦ
καθ' ἑαυτὴν τμήματος τοῦ κώνου· τέμνοντες δὴ
τὰς ὑπολειπομένας περιφερείας δίχα καὶ ἐπιζευ-
γνύντες εὐθείας καὶ ἀνιστάντες ἐφ' ἑκάστου τῶν τριγώ-
νων πυραμίδας ἰσοϋψεῖς τῷ κώνῳ καὶ ἀεὶ τοῦτο ποι-
οῦντες, καταλείψομέν τινα ἀποτμήματα τοῦ κώνου
ἃ ἔσται ἐλάσσονα τοῦ Ξ στερεοῦ· λελείφθω καὶ ἔσ-
τω τὰ ἐπὶ τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ· λοιπὴ ἄρα ἡ πυρα-
μὶς ἧς βάσις τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον, ὕψος δὲ
τὸ αὐτὸ τῷ κώνῳ, μείζων ἐστὶ τοῦ Ξ στερεοῦ· ἐγγε-
γράφθω καὶ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΘΟΕΠΖΡΗΣ πο-
λυγώνῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον πολύγωνον

·/· ἡ γὰρ πυραμὶς ἧς βάσις τὸ ΕΖΗΘ
κορυφὴ ἡ αὐτὴ τοῦ κώνου, μείζων ἐστὶν ἢ
τὸ ἥμισυ τοῦ κώνου.

Εἰ γὰρ τὸ Ξ στερεὸν ἔλαττόν ἐστι τοῦ
ΕΝ κώνου, ἀλλὰ τὰ ἐπὶ τῶν ΘΟΕ ΕΠΖ
ΖΡΗ ΗΣΘ ἀποτμήματα,
ἐλάττω τοῦ Ξ στερεοῦ, λοιπὴ
ἡ πυραμὶς ἧς βάσις τὸ ΘΟΕ
ΠΖΡΗΣ πολύγωνον, ὕψος δὲ
τὸ αὐτὸ τῷ κώνῳ μείζων τοῦ
Ξ στερεοῦ.

τὸ ΔΤΑΥΒΦΓΧ· καὶ ἀνεστάτω ἐπ' αὐτοῦ πυραμὶς ἰσοϋψὴς
τῷ ΑΛ κώνῳ· ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ
ἀπὸ τῆς ΕΗ, οὕτως τὸ ΔΤΑΥΒΦΓΧ πολύγωνον πρὸς
τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον· ὡς δὲ τὸ ἀπὸ τῆς ΑΓ πρὸς
τὸ ἀπὸ τῆς ΕΗ, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ
κύκλον· καὶ ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύ-
κλον, οὕτως τὸ ΔΤΑΥΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠ
ΖΡΗΣ πολύγωνον· ὡς δὲ ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ
κύκλον, οὕτως ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ στερεόν· ὡς δὲ
τὸ ΔΤΑΥΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠΖΡΗΣ πολύ-
γωνον, οὕτως ἡ πυραμὶς ἧς βάσις μὲν τὸ ΘΟΕΠΖΡΗΣ
πολύγωνον κορυφὴ δὲ τὸ Λ σημεῖον πρὸς τὴν πυρα-
μίδα ἧς βάσις μὲν τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον· κορυ-
φὴ δὲ τὸ Ν σημεῖον· καὶ ὡς ἄρα ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ
στερεόν, οὕτως ἡ πυραμὶς ἧς βάσις μὲν τὸ ΔΤΑΥΒΦΓΧ
πολύγωνον κορυφὴ δὲ τὸ Λ σημεῖον πρὸς τὴν πυρα-
μίδα ἧς βάσις μὲν τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον· κορυ-
φὴ δὲ τὸ Ν σημεῖον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ ΑΛ κῶνος
πρὸς τὴν ἐν αὐτῷ πυραμίδα, οὕτως τὸ Ξ στερεὸν
πρὸς τὴν ἐν τῷ ΕΝ κώνῳ πυραμίδα· μείζων δὲ ὁ ΑΛ
κῶνος τῆς ἐν αὐτῷ πυραμίδος· μεῖζον ἄρα καὶ τὸ Ξ
στερεὸν τῆς ἐν τῷ ΕΝ κώνῳ πυραμίδος· ἀλλὰ καὶ ἔλασ-
σον· ὅπερ ἄτοπον· οὐκ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος
πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΛ κῶνος πρὸς ἔλασ-
σόν τι τοῦ ΕΝ κώνου στερεόν· ὁμοίως δὴ δείξομεν ὅτι
οὐδὲ ἐστὶν ὡς ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον.

δι' ἴσ.

Δ Τ Α Υ ΙΒ
Δ Τ Ε Π ΑΥ
ὑπόκειται.

·/· ἐν ἄλλοις
τὸ ΔΤΑΥ ΒΦΓΧ
πολύγωνον
[illegible]

[illegible]

[illegible]

BIBL. BODL.

EUCLID Elementa BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo